*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος* *(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.* *(Ψαλμ. 145, 2)*

******************************************************************

*


**Δρος Χαραλάμπους Μ. Μπούσια**

Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας


# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

# ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ

## ΠΡΟΣΤΑΤΗΝ ΠΟΛΙΟΥΧΟΝ ΚΑΙ ΕΦΟΡΟΝ

# ΠΑΡΑΛΙΜΝΙΟΥ ΑΜΜΟΧΩΣΤΟΥ ΚΥΠΡΟΥ

*

*

* * * * *

*

*


**Ἀθῆναι 2009**

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

# ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ

## ΠΡΟΣΤΑΤΗΝ ΠΟΛΙΟΥΧΟΝ ΚΑΙ ΕΦΟΡΟΝ

# ΠΑΡΑΛΙΜΝΙΟΥ ΑΜΜΟΧΩΣΤΟΥ ΚΥΠΡΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΚΓ΄ Ἀπριλίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**************************************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τροπαιοφόρε τοῦ Κυρίου ὁπλῖτα,
Μεγαλομάρτυς, ἀριστεῦ τοῦ σταδίου,
Παραλιμνίου ἄγρυπνε φρουρέ, ἀκλινῶς
πρέσβευε, Γεώργιε, τῷ Σωτῆρι τοῦ κόσμου
δοῦναι τοῖς τιμῶσί σε ἄμφω ῥώμην καὶ σθένος,
δρακοντοκτόνε, θραῦσαι ὁρατῶν
καὶ ἀοράτων ἐχθρῶν τὴν ἐπήρειαν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν, οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν' Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**
**" Γεώργιε, φρούρει Παραλιμνίου πόλιν. Χ. Μ. "**

**ᾨδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.**
**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Γεώργιε, Μάρτυς περικλεές,
ὀφρὺν ἐπηρμένην
ὁ πατήσας τῶν ἀσεβῶν
ὀρδὰς ἀποδίωξον ἀπίστων
κατακτητῶν ἐκ τῆς Κύπρου τιμώσης σε.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ἐλέους δυσώπησον Ἀρχηγόν,
Γεώργιε μάκαρ,
εὐσυμπάθητον Ἰησοῦν,
ὑπὲρ εὐσεβῶν Παραλιμνίου,
οὗ πολιοῦχος ὑπάρχεις καὶ ἔφορος.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ὠκύπους ὡς ἔλαφος, θαυμαστὲ
Γεώργιε, σπεῦσον
καταστεῖλαι σαρκὸς ὁρμὰς
ἐν πόλει Παραλιμνίου, Μάρτυς,
τῶν εὐλαβῶς ἐνοικούντων, μεγάλαθλε.

**Θεοτοκίον.**
**Υπεραγία Θεοτόκε σώσον ημάς**

Ῥανίδας ἀπόσμηξον τῶν ἡμῶν
δακρύων, Παρθένε,
μανδηλίῳ σῶν προσευχῶν
πρὸς Κύριον, τὸν μονογενῆ σου
Υἱόν, πηγὴν οἰκτιρμῶν τὴν πολύῤῥυτον.

**Ωδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Γεροντίου τὸν γόνον
τὸν εὐθαλῆ μέψωμεν
καὶ Πολυχρονίας ἐνθέου
πάντιμον βλάστημα
ἀναβοῶντες τρανῶς·
Παραλιμνίου ἀκέστορ,
σκέπε τοὺς ἱκέτας σου,
Μάρτυς Γεώργιε.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ἰατρὲ τῶν νοσούντων
καὶ βοηθὲ τάχιστε
ποντουμένοις ἐν τρικυμίαις
βίου, Γεώργιε,
ἴσθι Παραλιμνιτῶν
ἀλγούντων ἡ θεραπεία
πίστει καταφεύγουσι
ταῖς ἱκεσίαις σου.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Εὐθαρσῶς ἐν σταδίῳ
τὸν Λυτρωτὴν Κύριον
ὁ ὁμολογήσας καὶ δρόμον
τῆς ἐναθλήσεως
ἀνύσας ἀνδροπρεπῶς,
Παραλιμνίου τὴν πόλιν
ἐπηρείας ὄφεως
ῥύου, Γεώργιε.

**Θεοτοκίον.**

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Φωταγώγησον, Μῆτερ,
τοὺς ἐν σκιᾷ στένοντας
κατωδύνου χαμαιζηλίας
δούλους σου, Δέσποινα,
ἡ τὸ ἀπρόσιτον Φῶς,
τὸν Φωτοδότην τεκοῦσα,
Ἰησοῦν τὸν εὔσπλαγχνον
καὶ πολυέλεον.

Γεώργησον
Παραλιμνίου ἐνοίκων ξηρὰς καρδίας
τῷ ἀρότρῳ σῶν προσευχῶν καρπὸν πρὸς πολύφορον,
Γεώργιε, βίου ἀρετηφόρου.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β'. Πρεσβεία θερμή.**

Ὁπλῖτα Χριστοῦ, Γεώργιε, τρισόλβιε,
Μαρτύρων λαμπὰς ἐνδόξων, καθικέτευε
ἐκτενῶς τὸν Κύριον
καταπέμψαι θεόθεν τὸ ἔλεος
Παραλιμνίταις σπεύδουσιν ἀεὶ
τῇ θείᾳ σου χάριτι, Μεγάλαθλε.

**Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ῥαντισμῷ σῶν δεήσεων
πρὸς τὸν στεφοδότην Χριστόν, Γεώργιε,
καθαγίασον τοὺς πίστει σε
ἐν Παραλιμνίῳ μεγαλύνοντας.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ὁδηγὸς πρὸς κατάκτησιν
ἀρετῆς Κυπρίων ὑπάρχεις ἄριστος
καὶ τῶν πόθῳ σε, Γεώργιε,
ἐν Παραλιμνίῳ εὐφημούντων σε.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ὑπερεύχου, Γεώργιε,
τῶν καταφευγόντων σῇ θείᾳ χάριτι
Παραλιμνιτῶν, Μεγάλαθλε,
ὁ εὐαρεστήσας Κτίστῃ ἄθλοις σου.

**Θεοτοκίον.**

**Υπεραγία Θεοτόκε σώσον ημάς**

Ῥύπου κάθαρον δούλους σου
ἔργων ἀνομίας, Θεογεννήτρια,
τῷ ὑσσώπῳ συμπαθείας σου
πρὸς Υἱόν σου, τὸν φιλανθρωπότατον.

**Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ἔμπλησον χαρᾶς
Παραλιμνιτῶν, Γεώργιε,
τὰς καρδίας, σὲ τιμώντων ἀκλινῶς
ὡς προστάτην, πολιοῦχον καὶ ἀκέστορα.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ἴθυνον χοροὺς
Παραλιμνιτῶν πρὸς θέωσιν,
ἀθλητὰ τροπαιοφόρε, εὐλαβῶς
ἀνυστάκτῳ καταφεύγοντας προνοίᾳ σου.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Πράϋνον ἡμῶν
τῆς σαρκὸς ὁρμάς, Γεώργιε,
προσκυνούντων σὴν εἰκόνα τὴν σεπτὴν
ἐν Ναῷ Παραλιμνίου φερωνύμῳ σου.

**Θεοτοκίον.**

**Υπεραγία Θεοτόκε σώσον ημάς**

Ἄμβλυνον ἡμῶν,
Κεχαριτωμένη, ὅρασιν
τοῦ μὴ βλέπειν ἀδικίας καὶ δεινὰς
τῶν πλησίον πτώσεις, Μῆτερ παντευλόγητε.

**Ὠιδὴ στ΄. Τὴν δέησιν.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ῥυόμενος τοὺς θερμοὺς ἱκέτας σου
μὴ ἐλλίπῃς συμφορῶν καὶ κινδύνων
τοὺς καταφεύγοντας σκέπῃ σου θείᾳ
καὶ ἀρωγῇ τῇ ταχείᾳ, Γεώργιε,
Παραλιμνίου βοηθὲ
καὶ φρουρὲ καὶ ἀκέστορ καὶ πρόμαχε.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ἀνάδειξον, ἀθλητὰ Γεώργιε,
ὑπερόπτας τῶν φθαρτῶν καὶ ματαίων,
Παραλιμνίτας τοὺς σὲ ἀνυμνοῦντας
ὡς πολιοῦχον, ὁπλῖτα μεγάλαθλε,
καὶ περιλάμπρῳ σου Ναῷ
ἐν ψυχῆς κατανύξει προσφεύγοντας.

Ἅγιε του Θεού πρέσβευε υπέρ ημών

Λαμπόμενος ἀριστείαις ἄθλων σου
ὡς φωστήρ, Μεγαλομάρτυς, πυρφόρος
τῆς εὐψυχίας, Γεώργιε μάκαρ,
εἰς τὰ ἐν πόλῳ εἰσῆλθες σκηνώματα,
ἔνθα Χριστὸν ἐκδυσωπεῖς
ὑπὲρ πάντων τιμώντων τὴν μνήμην σου.

**Θεοτοκίον.**

Υπεραγία Θεοτόκε σώσον ημάς

Ἰθύντειρα ἀπλανὴς τῶν δούλων σου,
Ἐλεοῦσα, Θεοτόκε Παρθένε,
πρὸς σωτηρίας ὑπάρχεις λειμῶνας
μακαριζόντων σε πίσττει ἀείποτε
καὶ τὸν Υἱόν σου τὸν σεπτὸν
δοξαζόντων εὐτάκτοις μελίσμασι.

Γεώργησον
Παραλιμνίου ἐνοίκων ξηρὰς καρδίας
τῷ ἀρότρῳ σῶν προσευχῶν καρπὸν πρὸς πολύφορον,
Γεώργιε, βίου ἀρετηφόρου.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.**

Μεγαλομάρτυς, στεῤῥόφρον Γεώργιε,
Παραλιμνίου ἐπόπτα ἀνύστακτε,
ὁ ψυχικῇ εὐτολμίᾳ κοσμούμενος,
μὴ διαλίπῃς πρεσβεύων τῷ Κτίσαντι
ὑπὲρ τῶν πίστει τιμώντων σὴν ἄθλησιν.

**Προκείμενον. Ἦχος δ'.** Θαυμαστός, ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ιε' 17-27, ιστ' 1-2). Ζήτει εἰς τὴν Λειτουργίαν τοῦ ἁγίου Γεωργίου τοῦ Τροπαιοφόρου.**

**Δόξα.** Ταῖς τοῦ Γεωργίου πρεσβείαις, Ἐλεῆμον,..
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

**Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Μάρτυς ἀκατάβλητε,
τροπαιοφόρε ἐν μάχαις,
θαυμαστὲ Γεώργιε,
ὥσπερ ἄλλου πάσχοντος
κολαστήρια,
ξέσιν σαρκίου σου
τοῦ τροχοῦ περόνας,
μετ' ἀκίδων ὑποδήματα
καὶ τμῆσιν θείας σου
κάρας ὑπομείνας, ἱκέτευε
Χριστὸν τὸν πολυεύσπλαγχνον
δοῦναι ἄμφω σθένος καὶ δύναμιν
τοῖς Παραλιμνίταις
τροπῶσαι τὰς ὀρδὰς Ἄγαρ υἱῶν
τῶν ἐπιβούλων, ἀήττητε
στρατιῶτα πίστεως.

Ιερέας: **Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...**

**Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Μαρτυρίου στεφάνους
εἰληφὼς ἀμαράντους,
στεῤῥὲ Γεώργιε,
ὡς οὐρανοπολίτης
ἐκδυσωπῶν μὴ παύσῃ
τὸν εὐΐλατον Κύριον
ὑπὲρ Παραλιμνιτῶν
τῶν σὲ μακαριζόντων.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Νυσταγμὸν ἁμαρτίας
ἀστραπαῖς πρεσβειῶν σου
θερμῶν, Γεώργιε,
ἐκδίωκε  καὶ τήρει
ἡμᾶς ἐν ἐγρηγόρσει
τοὺς τιμῶντας τὴν μνήμην σου,
Παραλιμνίου φρουρὲ
καὶ φύλαξ καὶ προστάτα.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ἰσχυροὺς ἐν ταῖς μάχαις
καθ' ἡμέραν τοῦ βίου
τοὺς σοὶ προστρέχοντας
ἐν εὐλαβείᾳ δεῖξον,
Γεώργιε τρισμάκαρ,
πολιοῦχε, ὑπέρμαχε
Παραλιμνίου θερμέ,
καὶ ἀρωγὲ ἐν δίναις.

**Θεοτοκίον.**

**Υπεραγία Θεοτόκε σώσον ημάς**

Οὐρανῶν, Θεοτόκε,
ὄντως ὑψηλοτέρα,
ἡμῶν οὐράνωσον
τὸ φρόνημα τῶν πίστει

σὲ ἀνυμνολογούντων
μελιῤῥύτοις ἐν ᾄσμασι
καὶ ὕψος πρὸς ἀρετῶν
ἀνέλκυσον σοὺς δούλους.

**Ὠιδὴ η'. Τὸν Βασιλέα.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ὑμνολογοῦντες,
Μεγαλομάρτυς, σοὺς ἄθλους
ἐκδεχόμεθα σὰς ἱκεσίας
οἱ Παραλιμνῖται,
Γεώργιε, πρὸς Κτίστην.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Παραλιμνίου
θαυματουργὲ πολιοῦχε,
δίδου πᾶσι σὴν χάριν ἀφθόνως
τοῖς προσφεύγουσί σοι,
Γεώργιε, ἐν δίναις.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ὁ τοῦ ἀδύτου
φωτὸς ἐν Πόλει τῇ Ἄνω
ἀπολαύων, Γεώργιε, ζόφον
τῶν ἡμῶν πταισμάτων
ἐκδίωξον εὐχαῖς σου.

**Θεοτοκίον.**

**Υπεραγία Θεοτόκε σώσον ημάς**

Λαμπὰς ἁγνείας,
εὐλογημένη Παρθένε,
τήρει πάντας ἁγνοὺς σοὺς οἰκέτας
μακαρίζοντάς σε
εἰς πάντας τοὺς αἰῶνας.

**Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Ἰσχὺς καὶ προστασία
τοῦ Παραλιμνίου,
θαυματουργέ, τροπαιοῦχε Γεώργιε,
ἐκ νήσου Κύπρου τυράννους ταχὺ ἀπέλασον.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Νῦν οἱ Παραλιμνῖται
στέφοντές σε ὕμνων
εὐτάκτων ἴοις τιμῶμεν τὴν μνήμην σου,
τροπαιοφόρε ὁπλῖτα Χριστοῦ, Γεώργιε.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Χαρᾶς ἡμῶν καρδίας
πλήρωσον ἐν λύπαις
καὶ συμφοραῖς καθευδόντων καὶ θλίψεσι,
Παραλιμνίου προστάτα θερμέ, Γεώργιε.

**Θεοτοκίον.**

**Υπεραγία Θεοτόκε σώσον ημάς**

Μητράνανδρε Παρθένε,
Κεχαριτωμένη,
τοῦ Γεωργίου λιταῖς πᾶσι βράβευσον
Παραλιμνίταις σὴν χάριν καὶ σὴν ἀντίληψιν.

Ἄξιόν ἐστι**....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Ἔχει Παραλίμνιον πανσθενῆ
πρόμαχον καὶ ῥύστην
ἐκ κινδύνων καὶ συμφορῶν
σέ, τροπαιοφόρε
Γεώργιε, καὶ σπεύδει
ἐν θλίψεσι καὶ λύπαις
σαῖς παρακλήσεσι.

Χαίροις, ὁ βασάνους παντοδαπὰς
πόθῳ ὑπομείνας
δι’ ἀγάπην τοῦ Λυτρωτοῦ,
χαίροις, ὁ ἀθλήσας
ὡς ἄσαρκος καὶ στέφος
λαβὼν τῆς ἀφθαρσίας,
Μάρτυς Γεώργιε.

Τάχος ἀποδίωξον τὰς ὀρδὰς
ἐκ τῆς νήσου Κύπρου
τοῦ Ἀττίλα, θαυματουργὲ
ἀθλητὰ Κυρίου,
Γεώργιε στεῤῥόφρον,
ὁ σοῖς αἰσχύνας ἄθλοις
τοὺς εἰδωλόφρονας.

Χαίροις, γενναιότητος γεωργέ,
ὁ τῷ σῷ ἀρότρῳ
ἀγαπήσεως τοῦ Χριστοῦ
γεωργήσας χθόνα
ψυχῆς σου πανιέρου,
Γεώργιε τρισμάκαρ,
Μάρτυς μεγάλαθλε.

Χαίρει Παραλίμνιον ἀρωγῇ
σῇ θερμῇ καὶ σκέπῃ
τῇ ἑτοίμῃ, θαυματουργὲ
ἀθλητὰ Κυρίου,
Γεώργιε, καὶ σπεύδει
ἐν πάσῃ περιστάσει
τῇ ἀντιλήψει σου.

Ὁ Μεγαλομάρτυς καὶ πανσθενὴς
ἀθλητὴς Κυρίου,
τοὺς τιμῶντάς σε ἀκλινῶς
ἐν Παραλιμνίῳ,
Γεώργιε, συντήρει
ἐχθροῦ τοῦ μισοκάλου πάντας ἀπήμονας.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.**

Στρατιῶτα Ὑψίστου στεῤῥέ, Γεώργιε,
τροπαιοφόρε ἐν μάχαις
κατὰ δολίων ἐχθρῶν,
πολιοῦχε, ἀντιλῆπτορ καὶ ὑπέρμαχε
Παραλιμνίου, ἀριστεῦ
τοῦ σταδίου ἀθλητά,
ἡμᾶς ἀσινεῖς συντήρει
ἐξ ἐχθρικῆς ἐπηρείας
θερμὰς εὐχὰς ἐκδεχομένους σου.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β'. Ὅτε ἐκ τοῦ Ξύλου.**

Φύλαξ, πολιοῦχε καὶ φρουρὲ
τοῦ Παραλιμνίου τῆς Κύπρου
καὶ ταχινὲ ἀρωγὲ
τῶν καταφευγόντων σοι
ἐν βίου κλύδωσι,
τροπαιοῦχε Γεώργιε,
Μαρτύρων ἀκρότης,
κλονουμένους στήριζε
ἱκέτας χάριτος
τῆς πανευσθενοῦς σου καὶ ῥύου
τῶν ὀρδῶν Ἀττίλα Κυπρίων
εὐσεβῶν χοροὺς ἀνευφημούντων σε.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

**Παραλίμνιον, Γεώργιε, φύλαττε**
**σὺν Βασιλείῳ, Χαραλάμπης κραυγάζει.**

**ΤΕΛΟΣ**

**ΚΑΙ ΔΟΞΑ**

**ΤΩι ΜΟΝΩι ΑΛΗΘΙΝΩι**

**ΘΕΩι ΗΜΩΝ**

## ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
## ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΤΡΟΠΑΙΟΦΟΡΟΥ
## ΠΟΛΙΟΥΧΟΥ ΠΑΡΑΛΙΜΝΙΟΥ
## ΑΜΜΟΧΩΣΤΟΥ ΚΥΠΡΟΥ

**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίρει τῇ σῇ θερμῇ ἀρωγῇ
καὶ προστασίᾳ σῇ ἑτοίμῃ καὶ χάριτι
ἡ πόλις Παραλιμνίου,
ἧς πολιοῦχος σεπτὸς
πέλεις ἀντιλήπτωρ
καὶ ἀνύστακτος
φρουρός, γενναιότατε
στρατιῶτα Γεώργιε,
τροπαιοφόρε
ἐν ταῖς μάχαις καὶ πρώταθλε

ἀξιέπαινε
ἐν σταδίου τοῖς σκάμμασιν,
ὅτι αὐτὴν πεντήκοντα
φρουρεῖς ἔτη, Ἅγιε,
καὶ ἑκατὸν τὴν ἐν πίστει
σῇ θείᾳ σκέπῃ προστρέχουσαν
καὶ ὕμνοις εὐτάκτοις
μεγαλύνουσαν σὴν χάριν
καὶ θείαν πρόνοιαν.

Πάντες ἐν τῷ σεπτῷ σου Ναῷ
τῷ ὑπελάμπρῳ συνελθόντες, Γεώργιε,
οἱ δῆμοι Παραλιμνίου
ἐν κατανύξει ψυχῆς,
τροπαιοῦχε Μάρτυς,
ἀνακράζομεν·
ἡμῶν θεῖε ἔφορε
καὶ ἀκέστορ καὶ ἄγρυπνε
φρουρὲ καὶ φύλαξ,
ἀσινεῖς τήρει πάντοτε
τοῦ ἀλάστορος
τῶν βελῶν τοὺς τιμῶντάς σε
καὶ πόῤῥῳ ἀποδίωξον
τῷ ξίφει σῆς χάριτος
ὀρδὰς ἀπίστου Ἀττίλα,
τοῦ ἐπιβούλου καὶ ἄφρονος,
τηροῦντος τὴν νῆσον
τὴν ἡμῶν δεδιχασμένην
καί, οἴμοι, στένουσαν.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

## ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ




## ΠΡΟΣΤΑΤΗΝ ΠΟΛΙΟΥΧΟΝ ΚΑΙ ΕΦΟΡΟΝ

## ΠΑΡΑΛΙΜΝΙΟΥ ΑΜΜΟΧΩΣΤΟΥ ΚΥΠΡΟΥ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

## ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ




## ΠΡΟΣΤΑΤΗΝ ΠΟΛΙΟΥΧΟΝ ΚΑΙ ΕΦΟΡΟΝ

## ΠΑΡΑΛΙΜΝΙΟΥ ΑΜΜΟΧΩΣΤΟΥ ΚΥΠΡΟΥ